UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Antiochio. 267.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

κοντας, καὶ ἐπιφοιτᾶν αὐτοῖς οὐκ ἀνέχεται. φιλεῖ δὲ μάλιστα πάντων τοὺς ὀλιγοδείᾳ καὶ αὐταρκείᾳ τὸν ἑαυτῶν κοσμοῦντας βίον, ἀσμένως αὐτοῖς ἐπιφοιτᾷ.

auiditate pecunias consectantur, nec ad eos venire sustinent. Contrà omnium maximè illas amant qui parsimonia & frugalitate vitam suam ornant, lubentérque ad ipsos ventitant.

Στρατηγίῳ μοναχῷ. σξϛ.

Οταν εὐβουλίας προκαθηγουμένης πᾶσα ἡ τοῦ ἀνθρώπου δύναμις ὑπουργήσῃ εἰς τὴν ἀρετὴν, πᾶσαν ἐκποδὼν ποιησαμένη σκῆψιν καὶ μέλλησιν· τότε δὴ τότε ὁ θεὸς εἰς τέλος ταύτην ἄγει, ὁ καὶ τοὺς μὴ βουλομένους αὐτὴν ἑλέσθαι, εἰς τὸ ἑλέσθαι παραθήγων. οὐ γάρ ἐστι τοῦ αὐτοῦ, τοὺς μὲν ἀποδιδράσκοντας αὐτὴν εἰς αὐτὴν συνελαύνειν, τοῖς δ' ἀφ' ἑαυτῶν ἑλομένοις, χεῖρα βοηθείας μὴ ὀρέγειν.

*Strategio Monacho.* 266.

Cum probo consilio præeunte omnis hominis vis, omni excusatione ac mora de medio sublata, ad virtutem inseruit, tũ verò Deus, qui ad eam amplectendam etiam nolẽtes ac recusantes incitat, ad finẽ vsque perducit. Neque enim consentaneũ est, qui ipsam fugiẽtes ad eam compellat, eundem iis qui suapte sponte ipsam sibi amplexandam proposuerunt, auxiliarem manum minimè porrigere.

Αντιόχῳ. σξζ.

Εοικας ἀγνοεῖν, ὅτι ὁ συνεχῶς τὰ λυττῶντα πάθη τοῦ σώματος νικῶν, τοῖς τροπαίοις ἀγαλλόμενος, τοὺς πόνους ὑπὸ τῆς εὐφροσύνης λανθάνει κλεπτόμενος.

*Antiocho.* 267.

Illud ignorare videris, eum, qui rabida corporis vitia perpetuò vincit, ob eiusmodi trophæa exultantem, præ voluptate ne labores quidem sentire.

Ωρίωνι μονάζοντι. σξη.

Πυνθάνομαι, ὅτι τῷ μὲν σχήματι τῆς ἀγωνίας, ἑνός· τῷ δ' ἀληθεῖ, πάντων ἐκράτησας τῶν ὁμηλίκων. ὁ γὰρ τῶν μὲν ἄλλων εἰς ταπεινοφροσύνην προκριθεὶς, δεύτερος δὲ σοῦ πεφηνὼς, πάντας ἡττημένους ἔδειξεν.

*Orioni Monacho.* 268.

Audio te certaminis quidem specie vnum, reuera autem omnes æquales tuos superasse. Nam qui humilitatis ac modestiæ nomine aliis prælatus, te inferior esse compertus es, hinc scilicet omnes à te superatos esse demonstrauit.

Απολλωνίῳ ἐπισκόπῳ. σξθ.

Η πενία, ὅταν τὴν ἱκεσίαν ἀτιμάσασα ἐπὶ κατηγορίαν τράπηται, καὶ τῇ συμφορᾷ εἰς φιλοπραγμοσύνην καταχρήσηται, καὶ ἀδίκου κατηγόρου ἀνθ' ἱκέτου καὶ πρόσφυγος πρόσχημα ἀναδέξηται, ἐλεεῖσθαι οὐκ ἂν εἴη δικαία. διὸ καὶ ἡ τῆς δικαιοσύνης πηγὴ, ἔφη, οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει. ἐλεεῖσθαι μὲν γὰρ δεόμενον καὶ ἀντιβο-

*Apollonio Episcopo.* 269.

Paupertas, cùm supplicibus verbis contemptis ad accusandum se conuertit, atque calamitate ad negotium aliis facessendum abutitur, aduersariique & accusatoris, non supplicis & opem implorantis speciem assumit, misericordia haudquaquam digna est. Vnde etiã ipsemet iustitiæ fons his verbis vtitur: Non misereberis pauperis in iudicio. Eius enim calamitate com-